## 38. ΜΕΝΙΠΠΟΣ

ΜΕΝΙΠΠΟΣ

Νὴ Δία, καὶ πολλά γε· ἀλλ' οὐ θέμις ἐκφέρειν αὐτὰ πρὸς ἅπαντας οὐδὲ ἐξαγορεύειν τὰ ἀπόρρητα, μή καί τις ἡμᾶς γράψηται γραφὴν ἀσεβείας ἐπὶ τοῦ Ῥαδαμάνθυος.

ΦΙΛΟΣ

Μηδαμῶς, ὦ Μένιππε, πρὸς τοῦ Διός, μὴ φθονέσῃς φίλῳ ἀνδρὶ τῶν λόγων. πρὸς γὰρ εἰδότα σιωπᾶν ἐρεῖς, τά τ' ἄλλα καὶ πρὸς μεμυημένον.

ΜΕΝΙΠΠΟΣ

Χαλεπὸν μὲν ἐπιτάττεις τὸ ἐπίταγμα καὶ οὐ πάντῃ εὐσεβές· πλὴν ἀλλὰ σοῦ γε ἕνεκα τολμητέον. ἔδοξε δὴ τοὺς πλουσίους τούτους καὶ πολυχρημάτους καὶ τὸ χρυσίον κατάκλειστον ὥσπερ τὴν Δανάην φυλάττοντας—

ΦΙΛΟΣ

Μὴ πρότερον εἴπῃς, ὦγαθέ, τὰ δεδογμένα πρὶν ἐκεῖνα διελθεῖν ἃ μάλιστα ἂν ἡδέως ἀκούσαιμί σου, τίς ἡ ἐπίνοιά σου τῆς καθόδου ἐγένετο, τίς δ' ὁ τῆς πορείας ἡγεμών, εἶθ' ἑξῆς ἅ τε εἶδες ἅ τε ἤκουσας παρ' αὐτοῖς· εἰκὸς γὰρ δὴ φιλόκαλον ὄντα σε μηδὲν τῶν ἀξίων θέας ἢ ἀκοῆς παραλιπεῖν.

ΜΕΝΙΠΠΟΣ

Ὑπουργητέον καὶ ταῦτά σοι· τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλος ἀνὴρ βιάζοιτο; καὶ δὴ πρῶτά σοι δίειμι τὰ περὶ τῆς γνώμης τῆς ἐμῆς, ὅθεν ὡρμήθην πρὸς τὴν κατάβασιν. ἐγὼ γάρ, ἄχρι μὲν ἐν παισὶν ἦν, ἀκούων Ὁμήρου καὶ Ἡσιόδου πολέμους καὶ στάσεις διηγουμένων οὐ μόνον τῶν ἡμιθέων, ἀλλὰ καὶ αὐτῶν ἤδη τῶν θεῶν, ἔτι δὲ μοιχείας αὐτῶν καὶ βίας καὶ ἁρπαγὰς καὶ δίκας καὶ πατέρων ἐξελάσεις καὶ ἀδελφῶν γάμους, πάντα ταῦτα ἐνόμιζον 3



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416025234/273 UNIVERSITÄT LEIPZIG